A

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΙΠΠΕΙΣ.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ Σκηνὴ πρώτη.

Τρίμετροι ἰαμβικοί.

ΔΗΜΟΣΘΕΝΗΣ, ΝΙΚΙΑΣ.

Βισετυς. Δημοσθένης, καὶ Νικίας Ἀθηναίων στρατηγοὶ δουλικὸν ἔχοντες σχῆμα διὰ τὴν ἑαυτῶν ἀτρεπῆ δουλείαν, καὶ δεινὰς κακοπαθείας ἀγανακτοῦντες μέμφονται, καὶ περὶ τῆς φυγῆς, καὶ αὐτομολίας βουλεύονται, ὅπως τῶν παρόντων κακῶν ἀπαλλαχθεῖεν.

Ἀτταταιὰξ τῶν κακῶν ἰατταταί.
Κακῶς Παφλαγόνα τὸν νεώνητον κακὸν
Αὐταῖσι βουλαῖς ἀπολέσειαν οἱ θεοί.
Ἐξ οὗ γὰρ εἰσήρρησεν εἰς τὴν οἰκίαν,
Πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις.
Νι. Κάκιστα δῆθ', οὗτος γε πρῶτος Παφλαγόνων,
Αὐταῖς διαβολαῖς. Δη. ὦ κακόδαιμον, πῶς ἔχεις;
Νι. Κακῶς, καθάπερ σύ. Δη. δεῦρό νυν πρόσελθ', ἵνα
Ξυναυλίαν κλαύσωμεν, Οὐλύμπου νόμον.
Μυ μῦ, μυ μῦ, μυ μῦ, μυ μῦ, μυ μῦ, μυ μῦ.
Τί κινυρόμεθ' ἄλλως; οὐκ ἐχρῆν ζητεῖν τινὰ
Σωτηρίαν νῷν, ἀλλὰ μὴ κλάειν ἔτι;
Νι. Τίς οὖν γένοιτ' ἄν; λέγε σύ. Δη. σὺ μὲν οὖν μοι λέγε,
Ἵνα μὴ μάχωμαι. Νι. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
Ἀλλ' εἰπὲ θαῤῥῶν, εἶτα κἀγὼ σοὶ φράσω.

# ARISTOPHANIS EQVITES.

## ACTVS PRIMI SCENA prima.

B

*Senarij Iambici.*

DEMOSTHENES, NICIAS.

C

*Attataax, quid mali hoc? Iattatæ.*
*Vt illum Paphlagonem, nouitium, Dij malum*
*Male perduint, cum eius consiliis pessimis.*
*Nam ex quo scelestus in ædes nostras irruit,*
*Plagas assiduè infligit nobis seruulis.*
*NI. Ah pessimè pereat hic primus Paphlagonum,*
D
*Suis ipsius cum calumniis. DE. miser*
*Homo, quomodo habes? NI. malè, sicut & tu. DE. age huc ades.*
*Quasi concentum lamentemur, Olympi modum,*
*Mymy, mymy, mymy, mymy, mymy, mymy.*
*Sed quid lamentamur frustra? annon erat æquius*
*Salutem nobis quærere: non flere amplius?*
*NI. Quamnam salutem? aut unde? cedò. DE. cedò tu prior,*
E
*Ne contradicam. NI. non per Apollinem: at mihi*
*Tu dic audacter: & ego post dicam tibi.*

Σχόλια. Ἰατταταιάξ.] σχετλιασμὸν δηλοῖ αὐτό τε τοῦτο καὶ τὸ ἑξῆς. ἔοικε δὲ ὁ προλογίζων εἶναι Δημοσθένης ὁ προκαμὼν ἐν Πύλῳ, διὰ τοῦτο. ἄλλως. σχετλιαστικὸν τὸ ῥῆμα. παρεπιγραφὴ δὲ λέγεται τὰ τοιαῦτα. ἀλλὰ καὶ γίνεται τοῖς σχήμασιν. ἔστι δὲ εἷς τῶν προειρημένων δῆθεν οἰκετῶν ἀποδυρόμενος τὸν ἕτερον. Παφλαγόνα.] τὸν Κλέωνα ὡς δημοτικὸν οἰκέτην. Παφλαγόνα δὲ, οὐ τῷ γένει, ἀλλ' ἐπεὶ ἐπαφλαζεν ἐν ἐκκλησίᾳ. νεώνητον δὲ τὸν νεωστὶ καταξιωθέντα τῆς ἀρχῆς. Παφλαγόνα δὲ τὸν Κλέωνα διὰ τὸ τῆς φωνῆς ἀπηχὲς ἀπὸ τοῦ παφλάζειν ὠνόμασεν. ἔφην γὰρ ὅτι ξένος ὢν ἐπολιτεύσατο. ὀνειδίζει οὖν αὐτὸν ὡς ξένον καὶ βάρβαρον. Τὸν νεώνητον.] τὸν νεωστὶ ἠγορασμένον. ἐπεὶ μὴ ἐκ γένους ἦν Ἀθηναῖος. ἀλλὰ νεωστὶ προσεληλυθὼς τῇ πολιτείᾳ ἐμφαίνει δὲ διὰ τούτων, ὅτι καὶ τῶν Ἀθηναίων καθάπτεται. ὅτι δέον αὐτοὺς πιστεύειν τοῖς γνησίοις καὶ πολλὰ τὴν πόλιν εὐεργετηκόσιν, οἱ δὲ μᾶλλον ἐτίμων τὸν Κλέωνα. πεφύκαμεν γὰρ καὶ τῶν οἰκετῶν μᾶλλον πιστεύειν τοῖς οἴκοι γεννηθεῖσι καὶ τραφεῖσιν, ἢ οὓς ἂν κτησώμεθα πριάμενοι. ἄλλως. ὅτι νεωστὶ τῇ δημαγωγίᾳ προσῆλθε. τὸ δὲ ἑξῆς, κακὸν κακῶς ἀπολέσειαν οἱ θεοὶ τὸν Παφλαγόνα τὸν νεώνητον. Αὐταῖσι βουλαῖς.] Ἀττικὸν τὸ σχῆμα, καὶ ἡ σύνταξις τοῦ λόγου. ὡς εἰ λέγομεν αὐτοῖς ὅπλοις. αὐτοῖς ἵπποις. λείπει δὲ ἡ σὺν πρόθεσις. Εἰσήρρησεν.] ἀντὶ τοῦ εἰσῆλθεν. εἰσεπήδησεν. ὡς βίᾳ καὶ ἀναιδῶς τῇ πολιτείᾳ προσελθόντος. Ἀττικὴ δὲ ἡ λέξις. ἐν ἐνίοις δὲ ἀντιγράφοις εἰσέφρησε γράφεται. δηλώσης τῆς λέξεως τὸ ἐπεπήδησεν, ἔτι δὲ καὶ τὸ μετὰ φθορᾶς εἰσελθεῖν. Πρῶτος Παφλαγόνων.] ὡς πάντων μὲν ὄντων πονηρῶν, ἐξαιρέτως δὲ τοῦ Κλέωνος. Αὐταῖσι διαβολαῖς.] ὅμοιον καὶ τοῦτο τὸ σχῆμα, τῷ αὐταῖσι βουλαῖς. τοῦτο δὲ εἶπεν, ἐπεὶ διαβάλλων Κλέων τοὺς ἄλλους στρατηγοὺς καὶ προσκρούων τῷ δήμῳ, εἰς ἑαυτὸν βλέπειν τοὺς Ἀθηναίους ἐποίησε. Ξυναυλίαν.] ξυναυλία καλεῖται, ὅταν δύο αὐληταὶ τὸ αὐτὸ λέγωσιν. ὁ δὲ Ὄλυμπος μουσικὸς ἦν Μαρσύου μαθητής. ἔγραψε δὲ αὐλητικοὺς καὶ θρηνητικοὺς νόμους. ἄλλως. ξυναυλία λέγεται ὅταν κιθάρα καὶ αὐλὸς συμφωνῇ. νόμοι δὲ καλοῦνται, οἱ εἰς θεοὺς ὕμνοι. Ὄλυμπος δὲ μαθητὴς γέγονε Μαρσύου περὶ τὴν αὐλητικὴν ἄριστος, καὶ αὐτὸς δυστυχήσας διὰ μουσικήν. καθάπερ οὖν Ὄλυμπος εὗρε τὸ συναυλεῖν, καὶ ἡμεῖς ὅμοια. καὶ ὥσπερ ἀπὸ μιᾶς φωνῆς.